μένων, ‘νῦν μὲν οὖν’ εἶπεν ‘ἐπισφαλῶς ἔχομεν, μήτε οὓς φοβηθῶμεν μήτε οὓς αἰσχυνθῶμεν ἑαυτοῖς ἀπολελοιπότες’.

**4.** Ἔτι τοίνυν πρόσλαβε τὴν Διογένους ἀπόφασιν, φιλόσοφον σφόδρα καὶ πολιτικὴν οὖσαν· ‘πῶς ἀμυνοῦμαι τὸν
B ἐχθρόν;’ ‘αὐτὸς καλὸς κἀγαθὸς γενόμενος.’ ἵππους ἐχθρῶν ὁρῶντες εὐδοκιμοῦντας ἀνιῶνται, κύνας ἐπαινουμένους. ἂν χωρίον ἐκπεπονημένον ἴδωσιν, ἂν εὐθαλοῦντα κῆπον, ἐπιστένουσι. τί οὖν οἴει, σεαυτὸν ἐπιδεικνύμενος ἄνδρα δίκαιον ἀρτίφρονα χρηστόν, ἐν λόγοις εὐδόκιμον, ἐν πράξεσι καθαρόν, ἐν διαίτῃ κόσμιον,

‘βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενον,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα;’ (Aesch. Sept. 593)

‘νικώμενοι’ φησὶ Πίνδαρος (fr. 229) ‘ἄνδρες ἀγρυξίᾳ δέδενται’, οὐχ ἁπλῶς οὐδὲ πάντες, ἀλλ’ ὅσοι νικωμένους αὐτοὺς ὁρῶσιν ὑπὸ τῶν ἐχθρῶν ἐπιμελείᾳ χρηστότητι μεγαλοφροσύνῃ
C φιλανθρωπίαις εὐεργεσίαις· ταῦτα ‘ἀποστρέφει τὴν γλῶτταν’ ὡς ὁ Δημοσθένης φησίν (XIX 208), ‘ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ’.

‘σύ τοι διάφερε τῶν κακῶν· ἔξεστι γάρ.’ (Eur. Orest. 251)

εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει κίναιδον μηδὲ μαλακὸν μηδ’ ἀκόλαστον μηδὲ βωμολόχον μηδ’ ἀνελεύθερον, ἀλλ’ αὐτὸς ἀνὴρ ἴσθι καὶ σωφρόνει καὶ ἀλήθευε καὶ χρῶ φιλανθρώπως καὶ δικαίως τοῖς ἐντυγχάνουσιν. ἂν δὲ λοιδορῆσαι προαχθῇς, ἄπαγε πορρωτάτω σεαυτὸν ὧν λοιδορεῖς ἐκεῖνον. ἐνδύου τῇ ψυχῇ, περισκόπει τὰ σαθρά, μή τίς σοί ποθεν ὑποφθέγγηται κακία τὸ τοῦ τραγῳδοῦ

‘ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων’. (Eur. fr. 1086)

D ἂν ἀπαίδευτον εἴπῃς, ἐπίτεινε τὸ φιλομαθὲς ἐν σεαυτῷ καὶ